κύριε. ἑνὸς γάρ σου λόγου χρείαν ποιοῦμαι. ὁ δέ φησιν, εἰπέ. καὶ ὁ κηπωρός, καθηγητά, διατί τὰ παρ' ἐμοῦ λάχανα σκαλιζόμενά τε καὶ ἀρδευόμενα καλῶς, βραδεῖαν ἔχει τὴν αὔξησιν, τὰ δὲ ἀπὸ τῆς γῆς φυόμενα τε καὶ μηδαμῶς ἐπιμελούμενα ταχεῖαν ἔχει τὴν αὔξησιν. ὁ δὲ ἀκούσας ἀφιλόσοφον ζήτημα, καὶ μηδόλως εὑρίσκων τὴν λύσιν, ἡ θεία πρόνοια, ἔφησε, ταῦτα ποιεῖ. ὁ δὲ Αἴσωπος ἀκούσας, ἐγέλασεν. ὁ δὲ Ξάνθος λέγει πρὸς αὐτόν, γελᾷς ἢ καταγελᾷς. ὁ δὲ καταγελῶ, φησίν, οὐ σοῦ, ἀλλὰ τοῦ διδάξαντός σε. τὰ γὰρ ὑπὸ θείας προνοίας γινόμενα, ὑπὸ σοφῶν διαλύονται. ὑπόθες οὖν, κἀγὼ διαλύσω αὐτό. ὁ δὲ Ξάνθος ἔφη τῷ κηπωρῷ, κομψότατε, ἀπρεπές ἐστιν, ἐμὲ τὸν ἐν τοσούτοις ἀκροατηρίοις διαλεχθέντα, νῦν ἐν κήποις αἰνίγματα διαλύειν, παῖς δέ μοι